# ΑΙΛΙΟΥ ΑΡΙΣΤΕΙΔΟΥ

## ΕΙΣ ΕΤΕΩΝΕΑ

### Μαθητὴν αὐτοῦ ἐπικήδειος, ἐν Κυζίκῳ, τοῦ θανόντος πατρίδι λεχθείς.

Ἡ μὲν ἐπίδειξις οὐδαμῶς εὐτυχής, οὐδὲ κατ᾽ ἐλπίδας, ἀναγκαία δὲ τῆς τε πόλεως εἵνεκα καὶ τῶν οἰκείων τῶν Ἐτεωνέως, καὶ προσέτι γε ἡμῶν αὐτῶν παραμυθίας. οἶμαι δ᾽ εἰ καὶ μήπω πρόσθεν θρῆνοι κατ᾽ ἀνθρώπους ἐνομίσθησαν, νῦν γε ἐπὶ τοῖσδε δικαίως ἂν ἄρξασθαι. τί γὰρ οὐκ ἄν τις ὀδύροιτο; πότερον τὴν ἡλικίαν ἣν ἔχων οἴχεται, καὶ τὴν ἀνδρείαν; ἢ κέκρυπται κακῶς; ἢ τὴν σωφροσύνην, ἧς οὐδὲν παράδειγμα ῥᾳδίως ἂν εὕροι τις; ἢ τὰς ἐλπίδας, ὧν στέρεται μὲν αὐτὸς, στέρονται δὲ οἰκέται καὶ φίλοι καὶ πόλεις, καὶ πᾶν ὅσον εἰς τὴν νῦν Ἀσίαν τελεῖ; Ποῖος ταῦτα Σιμωνίδης θρηνήσει; τίς Πίνδαρος, ποῖον μέλος ἢ λόγον τοιοῦτον ἐξευρών; τίς χορὸς ἄξιον φθέγξεται τοιούτου πάθους; ποίας δὲ Δύσηνις Θετταλοὶ τοσοῦτο πένθος ἐπένθησαν ἐπ᾽ Ἀντιόχῳ τελευτήσαντι, ὅσον νῦν μητρὶ τῇ τούτου πένθος πρόκειται; Οὐ μὴν ἀρκέσει σιωπῇ θρηνεῖν, οὐδ᾽ ὅσον βοῶντας τοὔνομα. ἀλλά τι καὶ κόσμου τοῖς θρήνοις προσθέσω. τί γὰρ καὶ φοβηθησόμεθα; μὴ λέγοντες ψευσώμεθα; οὗ τὸ μὲν γένος τοσοῦτον πρῶτον ἦν τε τῇ πόλει καὶ τῇ Ἀσίᾳ, ὥς τε μηδ᾽ ἂν ἓν ἀμφισβητῆσαι. πάντες γὰρ ὡς εἰπεῖν, καθ᾽ ἕνα πρωτεύουσι. Καὶ γε μὴν τοὺς πρὸς πατρὸς, τοὺς πρὸς μητρὸς ἐφάμιλ-

μέλλον. αὐτοὶ δὲ οἱ γονεῖς, ὁ μὲν, ἀνδρῶν γνωριμώτατος· ἡ δὲ, γυναικῶν σωφρονεστάτη. ἀλλὰ καὶ εἰς παίδων τὴν αὐτῆς ἐπιμέλειαν, κρείττων ἡ γυνή. σοφὴ δὲ καὶ φύσις ἀξία τῆς ἀθλήσεως ἔργου σοφοῦ; μὲν καὶ φύλαξ ἡ μήτηρ. Σῶμα δὲ καὶ ψυχὴ πρέποντα ἀλλήλοις. ἰδεῖν μέν γε κάλλιστος καὶ μέγιστος καὶ τελεώτατος τῶν ἐν τῇ ἡλικίᾳ, καὶ πλεῖστον ἡδονῆς τῷ θεωμένῳ προσβάλλων· τὸν δὲ τρόπον κοσμιώτατος καὶ ἐλευθεριώτατος, μεγαλοπρεπείᾳ μετὰ φιλίας ἐμπρέπων. ὥς τ' οὐκ ἦν εἰκάσαι, πότερον παῖς ἐστιν ἢ νεανίας, ἢ πρεσβύτης. τὸ μὲν γὰρ ἀποίητον, παιδός. ἡ δὲ ἀκμὴ, νεανίου. φρόνησις δὲ, πρεσβύτου. Ἦν δ' ἀγασθῆναι τῆς μὲν συνέσεως τὸ μηδαμῆ θρασὺ, μηδὲ ἰταμὸν, μηδὲ αὔθαδες, ἀλλ' ἐν σχολαίῳ τῷ ἤθει τὸ ἀγχίνουν εἶναι. τῆς δ' αὖ σωφροσύνης τὸ μηδαμῆ νωθρὸν, μηδὲ ὕπτιον, μηδὲ ναρκῶδες, ἀλλ' ὥσπερ ἁρμονίης εὖ κεκραμένης, ἐξ ἴσου τὴν ὀξύτητα τῇ πραότητι καθιστάνειν, καὶ μήτε τὴν σωφροσύνην, μήτε τὴν χάριν εἰς ἄλληλα βλάπτεσθαι. Ὅς γε τῆς μὲν μητρὸς οὕτως εἴχετο, ὥσπερ οἱ πρὸς τῷ μαστῷ παῖδες. τὸν δὲ ἀδελφὸν ὡς παῖδα ἠσπάζετο. τῶν δὲ μαθημάτων οὕτως εἴχετο, ὥσπερ οὐκ ἐξὸν ἄλλως αὐτῷ ζῆν. ἐπειδ' ἤκουσε, παραχρῆμα ἐπίστατο. ἰδὼν δὲ εὐθὺς ἂν ἔγνω, ποῖός τις ἀνὴρ, καὶ πότερον ἀσπάζεσθαι χρὴ ἢ φυλάττεσθαι. νομίσας δ' εὖ ἔχειν τὸ Ὁμηρικὸν, τὸ, Οὐκ ἀγαθὸν πολυκοιρανίη. καὶ τοὺς διδασκάλους τοὺς πολλοὺς εἰς ἀμαθίαν μᾶλλον φέρειν, προείλετο μὲν διδάσκαλον ἐξ ἁπάντων, ὅντινα δὴ καὶ προείλετο (οὐ γάρ ἔμοιγε εὐπρεπέστατόν ἐστι λέγειν) τούτῳ δ' οὕτω προσέκειτο, ὥστε ἅπαντα πράττων ὅσα τὸν φιλομαθέστατον καὶ φιλοστοργότατον προσῆκον, οὐδεπώποτε ἔδοξεν ἑαυτῷ τῆς ἀξίας ἐγγὺς εἶναι. Καὶ συνὼν μέν γε οὕτως ἔχαιρεν, ὡς μόνον τοῦτον βιώσιμον ὄντα αὐτῷ τοῦ βίου τὸν χρόνον. εἰ δέ τι κωλύσειεν, ἠνιᾶτο μὲν, ἡττᾶτο δ' οὐδεπώποτε. ἀντεχόμενος τοίνυν οὕτω σφόδρα τῶν λόγων ἦν, ὥς τ' οὐκ ἐξή-

λαξεν

ΕΡΓΑΣΤΗΡΙΟ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ... ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κατ.Π. ΙΩΑΝΝΙΝΑ 2016

λαζὸν ἐπαινεῖν, ἀλλ' ὥσπερ οἱ διψῶντες σιωπῇ πίνουσιν, οὕτως ἐκείνῳ ἤρκει δέχεσθαι τὰ λεγόμενα, τῷ σχήματι καὶ νεύματι καὶ τῇ φαιδρότητι τὴν χάριν ἐμφανίζοντι, ἣν ἐπὶ τοῖς λόγοις εἶχεν. Ἀεὶ δ' ἂν εὗρες αὐτὸν, ἢ βιβλίον μεταχειριζόμενον, ἢ λόγους ποιοῦντα, ἢ τὴν μητέρα εὐφραίνοντα οἷς διηγεῖτο, ἢ οἷς ἐπεδείκνυτο. πάντως δ' ἐν τύπῳ τῷ σχήματι πάντα πράττοντα, καὶ γραφῇ μιμήσασθαι, κάλλιστον ἦν. Ἃ δὲ τοῖς ἐνταῦθα ἥκουσιν ἡλικίας ἐφ' ἡμέρᾳ καὶ νυκτὶ ἑκάστῃ παίζεται, ταῦτ' ἐκείνῳ καθάπερ μῦθοί τινες ἦσαν. ἀλλὰ γυναικῶν μὲν μία σύσσιτος ἦν ἡ μήτηρ. παίδων δὲ εἷς ἀδελφός· φίλοι δὲ, οἱ ταὐτὰ προῃρημένοι, καὶ περὶ τοὺς αὐτοὺς συνιόντες λόγους. οὐδ' ἑώρακε καὶ διὰ πλείστων. ἄγαλμα δ' ἄν τις ἔφησε τῆς αἰδοῦς αὐτὸν εἶναι. ἄγε τὰ μὲν πολλὰ, σιωπᾷ ἐξήρκει. εἰ δέ τι φθέγγοιτο, ἔδει φλέγεσθαι. οὔκουν ἄλλως γ' ἂν ἤκουσας αὐτοῦ φωνὴν, ἀλλὰ χρὴ ἢ ἐρυθριάσαντα εἰπεῖν, ἢ εἰπόντα ἐρυθριᾶν. οὕτως ἀθέατος καὶ ἀνήκοος καὶ ἄπειρος ἁπάντων τῶν αἰσχίστων διεβίω. λόγους δὲ καὶ παιδείαν ᾔδει μόνα· ὃς καὶ τελευτῶν εἰς ταῦτα ἐτελεύτησεν, εἰς πανηγυρικὸν καὶ μελέτας βοῶν. ὦ πάντα σὺ κάλλιστε παίδων. ὦ τῆς μὲν προσηκούσης ἡλικίας οὐκ ἐπιλαβόμενος, τῆς δ' ὑπαρχούσης σεμνότερος φανεὶς καὶ πρεσβύτερος. σὲ ποθοῦσι μὲν ἡλικιωτῶν χοροί. ποθοῦσι δὲ πρεσβύτεροι. ποθεῖ δὲ ἡ τὰ μέγιστα ἐπὶ σοὶ πόλις ἐλπίσασα; ἣν σὺ πρώην, πρῶτα δὴ καὶ τελευταῖα εὔφρανας. Μητρὶ δὲ ποῖαι νύκτες; ἢ τίνες ἡμέραι λοιπόν; ἢ πρὶν μὲν ὡς καλλίπαις ἥδετο, νῦν δ' ἐξελήλεγκται ὡς δυσοικήσασα. ὦ κύκλοι μὲν ὀφθαλμῶν ἐκείνων κεκλεισμένοι τὸν ἅπαντα ἤδη χρόνον· κεφαλὴ δὲ ἡ πρότερον χαριεστάτη, νῦν ἐν κόνει. χεῖρες δὲ ἄφωνοι. ὦ πόδες οἷον φέροντες τὸν δεσπότην ὑπεδύκατε. ὦ νυμφίου τ' ἐλεεινότερος ἄρτι καιόμενος, καὶ στεφάνοις μᾶλλον πρέπων, ἢ θρήνοις. οἵαν ἐν ὥρᾳ τὴν ἀσέβειαν ἐκίνησας. ὃς πρὶν ὑμέναιον ᾄδεσθαί σοι,

καὶ

καιρὸν τοῦ θρήνους ᾄδειν κατέλαβες· ὦ σχῆμα κάλλιστον· ὦ φθέγμα κοινὸν τοῖς Ἕλλησιν αὐξανόμενον. οἴχῃ δὴ προοιμιασάμενος, τοσοῦτον εὐφραίνας, ὅσον λυπῆσαι μειζόνως. Ἐπέρχεταί μοι τὸ τοῦ Πινδάρου προσθεῖναι. Ἄστρα τε καὶ ποταμοὶ καὶ κύματα πόντου, τὴν ἀωρίαν τὴν σὴν ἀνακαλεῖ. ὦ τοῦ δευτέρου πτώματος, οἷος ἐφ' οἵῳ τῷ νέῳ κεῖσαι. ὦ τῆς ἐπιθήκης· οἷον αὖ τὸ δεύτερον ἡμῖν ἔσεισεν. ὦ τοῦ τραγικοῦ δαίμονος. ὃς προδείξας ἀρτίως βελτιστεῖα καὶ λόγους καὶ ζῆλον καὶ χαρὰν, πόρρω τούτων ἐν βραχεῖ τὸ δρᾶμα κατέκλεισεν. ὦ συμφοραὶ κοιναὶ λογίων καὶ χθονίων Θεῶν. τί ποτε καὶ ἀποκρίνωμαι πρὸς τὰ ψηφίσματα; ἢ τοῦτο, ὅτι Ἐτεωνεὺς οἴχεται παρὰ τοὺς κρείττονας; ὦ δεξιώτατε παίδων, οἷόν σοι πέμπω βιβλίον. οἵων ταυτὴν ἀπολαύεις λόγων. Ἀλλὰ γὰρ ὥσπερ ἐν τραγῳδίᾳ τινὶ ὡς ἀληθῶς μεταξὺ τῶν ὀδυρμῶν, δοκῶ μοι κατακούειν φωνῆς ἀπὸ μηχανῆς Θεοῦ τινος μεταβάλλοντος τὸν θρῆνον εἰς εὐφημίαν· ὡδί λέγοντος· παύσασθε ὦ ἄνθρωποι· οὐκ οἰκτρὸς ὁ παῖς· μᾶλλον δὲ ἀνήρ· οὐδ' ἐλεεῖσθαι δίκαιος τῆς πορείας ἣν ἐστείλατο. ἀλλ' εἴπερ τις ἄλλος ἔχει καλῶς γε ἐπὶ τὰ ἀνθρώπεια. οὐδὲ γὰρ Κωκυτὸς, οὐδὲ Ἀχέρων τοῦτόν γε εἰλήφασιν. οὐδὲ θήκη κρύψει παραλαβοῦσα. ἀλλ' εὐκλεὴς καὶ ἀγήρως ἤδη τὸν λοιπὸν ἅπαντα χρόνον περίεισιν ἥρως, Κυζίκου πάρεδρος, τιμηθεὶς ὑπ' Ἀπόλλωνος πατρῴου, καὶ ταῦτα Ἀμύκλᾳ καὶ Ναρκίσσῳ καὶ Ὑακίνθῳ, καὶ εἰ δή τις ἄλλος ἐπὶ εἴδει καλῷ, κρείττονα ἢ κατ' ἄνθρωπον ἀρετὴν ἐκτήσατο. Ἑτέραις οὖν ἤδη τιμαῖς αὐτὸν τιμητέον, καὶ ἑτέρως παραπεμπτέον, ὡς κρείττω δακρύων ὄντα, καὶ τὴν ἀποικίαν οὐκ ἄνευ θείας μοίρας πεποιημένον. πάντας δὲ ἡ μὲν τελευτὴ, κοινὸς ἅπασιν ὅρος πρόκειται. τὸ δὲ τῶν καλλίστων ἑαυτὸν ἀξιώσαντα μετ' εὐκλείας καταλῦσαι, Θεοῖς τε καὶ ἀνθρώποις ἄμεμπτον. τοῦτο δὲ, οὐκ ἐπὶ πάντας ἀλλ' ὀλίγοις δή τισι τῶν πάντων ἀπεδόθη. βίος δὲ πᾶς ἀνθρώπων βραχύς. καὶ ὁ

πολ-

πολλοῦ τινος ἄξιος εἰς ἀριθμοῦ λόγον· ἀλλ' ἐάν τι Ἀργανθώνιον, ἐάν τε Τιθωνὸν λέγῃ τις, ἐάν τε τὸν τὰς τρεῖς γενεὰς διαρκέσαντα Νέστορα τὸν Πύλιον, πάντας τούτους τοὺς χρόνους συνθεὶς, εὑρήσει ἔλαττον μέρος ὄντας τοῦ παντὸς αἰῶνος, ἢ ὅσον εἰπεῖν. οὐ δεῖ δὴ φιλοψυχεῖν, οὐδὲ τὴν εὐδαιμονίαν τούτῳ μετρεῖν, εἴτις ὡς πλεῖστα ἔχει πράγματα, οὐδ' εἴτις τοῦ μακροῦ γήρως ἀπέλαυσεν, οἷα δὴ ἀπολαύειν εἰώθασιν ἄνθρωποι. ἀλλ' ἡγεῖσθαι τούτῳ καλλῖς ἔχειν, ὅστις τὴν δοθεῖσαν αὐτῷ τοῦ βίου μοῖραν ἐν τοῖς καλλίστοις ἐξεπλήρωσε. καὶ ὅς τις ὥς περ ποιητὴς ποθούντων ἀκούειν ἔτι καὶ ὁρᾷν κατέλυσε τὸ δρᾶμα. Ὁ δὲ, εὐδαίμων τε καὶ ζηλωτὸς ἅπασι καὶ νεωτέροις καὶ πρεσβύταις πορεύεται· τοσαῦτα ἀπολαύσας τοῦ βίου, ἐφ' οἷς μόνοις εὐκτὸν ἦν δύνασθαι, ἀπαθὴς κακῶν, ἄπειρος πραγμάτων, εὐκλεὴς, ἐν λόγοις καὶ μαθήμασι καὶ ἐπαίνοις τραφεὶς, ἀπὸ τῆς φίλης καὶ ὁμοσκηνίου μητρὸς, στειλάμενος παρὰ τὴν ἀρχαίαν μητέρα. Εἰ δέ τῳ μὴ ἱκανῶς δοκεῖ τῆς δόξης ἀπολαῦσαι, ἀναπληροῦν χρὴ νῦν ἐπικοσμοῦντας ὡς ἥρωα. οὕτω δὲ ἐν ἀσφαλεῖ τῶν ἐπαίνων, ἤδη ταῦτα χρὴ δοκεῖν ἀκούειν τῶν κρειττόνων, καὶ οὕτως ἔχοντας, τῆς ἀληθείας ἂν μᾶλλον τυγχάνειν νομίζειν, κἀκείνῳ ποιεῖν κεχαρισμένα. καλὸν δὲ καὶ τὸ ἐν σκολιοῖς ὥστε ἁρμόδιον ᾄδειν, οὔτι πω τέθνηκας λέγοντας. ἀλλ' εἴπερ τις ἄλλος ἐν μέσοις ἀναστρέφῃ τοῖς εἰδόσι, καὶ πολίταις καὶ ξένοις. ὦ βιοὺς μὲν ὡς ἐν ἱεροῖς, καὶ τελευτήσας κρεῖττον ἢ κατ' ἄνθρωπον. ὦ κόσμος καὶ φίλοις καὶ γένει καὶ πόλει. ὦ πρῶτα τῆς καθ' ἡλικίαν ἀρετῆς ἔχων, τάδε σοι τὰ παρ' ἡμῶν. τὰ δὲ λοιπὰ μελήσει τῇ πόλει κοινῇ.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# ΤΟΥ ΑΥΤΟΥ ΜΟΝΩΔΙΑ

## Ἐπὶ Σμύρνῃ σεισμῷ καταπεσούσῃ.

Ὦ Ζεῦ, τί χρήσωμαι; πότερον σιωπῶ, Σμύρνης κειμένης; τίνος μεταλαβὼν ἀδάμαντος φύσιν; ἢ τίνα ταύτην καρτερίαν καρτερῶν; ἀλλ' ὀδύρωμαι; ποίαν ἁρμονίαν ἁρμοσάμενος; ἢ τίνα τόλμαν τοσαύτην λαβών; ὅσαι γὰρ Ἑλλήνων καὶ βαρβάρων φωναὶ, τῶν τε ὑπὲρ γῆς ἔτι καὶ τῶν ἐκ τοῦ παντὸς αἰῶνος γινομένων, εἰς ταυτὸν ἅπασαι λόγῳ συντελεσθεῖσαι, ἐλάττους τοῦδε τοῦ πράγματος ἐγχειρῆσαι μόνον, μὴ ὅτι τὴν ἀξίαν σῶσαι. ὢ μήκιστα μηκίστων ἰδὼν καὶ ἀκούσας ἐγώ· ὢ πάντα φέρων χρόνος, οἵαν ἰδέαν πόλεως ἐξευρὼν καὶ τεχνησάμενος, εἶτα ἀναλώσας ἔχεις. ὢ πάντα ἀνόμοια τοῖς πρότερον. Τὰ μὲν ἀρχαῖα, Κουρήτων χοροὶ καὶ τροφαὶ, καὶ γενέσεις θεῶν, καὶ Πέλοπες διαβαίνοντες ἐνθένδε, καὶ Πελοπόννησος ἀποικία, καὶ Θησέως οἰκισταὶ τῶν περὶ τὸν Σίπυλον τόπων, καὶ Ὁμήρου γοναὶ, καὶ ἀγῶνες, καὶ τρόπαια, καὶ νῖκαι παρὰ τοῖς ἄρχουσι διὰ πάντων ἐθνῶν καὶ λογίων περιηγήσεις, ἀναστρεφόντων καλλίστην τῶν ἁπασῶν. Καὶ μὴν τά γε ὁρώμενα κρείττω διηγήσεως. προσιόντι μὲν εὐθὺς ἀστραπὴ κάλλους, καὶ μεγεθῶν ἀριθμοὶ, καὶ μέτρα, καὶ βάσεις, ὥσπερ ἁρμονίας μιᾶς. πόδες μὲν ἐπὶ ἠϊόνων καὶ λιμένων καὶ ἀλσῶν ἐρειδόμενοι. μεσότης δὲ, ἴσον τοῦ πεδίου τε ὑπεραίρουσα καὶ τῶν ἄνωθεν ἀπολείπουσα. ἐσχατιὰ δὲ μεσημβρινὴ, καὶ μικρὸν ὑψουμένη, δι' ὁμοίου τοῦ παντὸς λάθρα λήγουσα εἰς ἀκρόπολιν, σκοπιὰν τῆς τε θαλάττης καὶ τῆς πόλεως ἔχουσα. Τὸ δὲ οὔτε λόγῳ ῥητὸν, οὔτε ὄψει βεβαίως καταληπτὸν, ἀλλ' ἀκφεῦγον οὐκ οἶδ' ὅπως, ἐπιθυμίαν δὲ τοῦ συλλαβεῖν αὐτὸ παρεχόντων ἀεὶ δήπουθεν, τὸ ὑπὲρ πάσης τῆς πόλεως ἐπιπολὰς γάνος.

ιος· οὐ διαφθεῖρον τὰς ὄψεις, ὡς ἔφη Σαπφώ, ἀλλ' αὖξον καὶ τρέφον καὶ ἄρδον ἅμα εὐθυμίᾳ, ὑακινθίνῳ μὲν αὖθις οὐδαμῶς ὅμοιον, ἀλλ' οἷον οὐδὲν πώποτε γῆ καὶ ἥλιος ἀνθρώποις ἔφηναν. ὥσπερ δὲ ἄγαλμα ἀκριβῶς πεποικιλμένον, πάντη περιιόντι θέαν ἔχει, οὕτως ἡ πρότερον μὲν ὡραιοτάτη πόλεων, νυνὶ δ' ἀωρίαν περιβεβλημένη, ἀφ' ὅτου τις ἂν θεωροίη. νῦν δὲ τὸ κάλλιστον εἶδος παρέσται δοκεῖν, τοῦτο μὲν ἐξαίφνης, ἐμφανοῦς γιγνομένης· τοῦτο δὲ ἀπὸ μικροῦ γινομένου. τοῦτο δ' ἐκ προαστείων, ἐκ πορθμῶν, ἐκ πελάγους, ἐκ γῆς, ἐκ θαλάττης. Ταῦτα μὲν τὰ περὶ ἐντυχεῖν. συνουσίαι δὲ ὅσαι καὶ ὁμιλίαι τίνα μὲν κόρον ἔχον ἀνθρώποις; τίνι δὲ ἄλλῃ πόλει παρὰ μικρὸν ἐλθεῖν ἀπέλιπον; ὦ κρῆναι, καὶ θέατρα καὶ στενωποί, καὶ δρόμοι κατάστεγοι καὶ ὕπαιθροι. ὦ τῆς ὑπερλάμπρου σχῆμα ἀγορᾶς· ὦ χρυσοῦ τε ἐπώνυμοι καὶ ἱερῶν ὁδοὶ καθ' ἕκαστον πλαίσιον, ἀντ' ἀγορᾶς ἅπασαι. ὦ λιμένες ποθοῦντες τὰ τῆς φιλτάτης πόλεως. ὦ κάλλη γυμνασίων ἀμύθητα. ὦ ναῶν καὶ περιβόλων χάριτες, ποῖ ποτε γῆς ἔδυτε; ὦ κόσμοι παραλίας. ὦ πάντα ἐκεῖνα ὀνείρατα. ποῖαι πηγαὶ δακρύων ἱκαναὶ τοσούτῳ κακῷ; ποῖαι συναυλίαι καὶ συνῳδίαι χορῶν, πασῶν τὴν καλλίχωρον καὶ πολυύμνητον καὶ ξενοπόθητον ἀνθρώποις ἀρκέσουσιν ἀνοιμῶξαι πόλιν. ὦ πτῶμα τῆς Ἀσίας. ὦ λοιπαὶ πόλεις. ὦ πᾶσα μὲν γῆ, πᾶσα δὲ εἴσω Γαδείρων τε καὶ ἔξω Γαδείρων θάλαττα. ὦ κύκλος ἀστέρων. ὦ πάντα ἐφορῶν ἥλιε, οἷον ἰὼ ἔχει θέαμα ὁρῶν. ὦ παιδιὰ μὲν Ἰλίου πόρθησις, παιδιὰ δὲ Ἀθηναίων ἐν Σικελίᾳ συμφοραί, καὶ κατασκαφαὶ Θηβῶν, καὶ στρατευμάτων ὄλεθροι, καὶ πόλεων δύσεις, καὶ πάνθ' ὅσα πῦρ καὶ πόλεμοι καὶ σεισμοὶ μέχρι τοῦδε ἀπειργάσαντο. ὦ πρότερον μὲν κάλλει καὶ μύσαις ἁπάσας πόλεις ἀποκρύπτουσα, νυνὶ δὲ ἀποκρύψασα τὸ τῆς Ῥόδου πτῶμα ἔμελλες ἄρα τοῖς Ἕλλησιν ᾄδεσθαι δευτέρων σχετλιωτέρων. ὦ πᾶσι τοῖς ὁμοφύλοις ἐναγισμάτων ἡμέρα. ὦ κοινὴ

τοῖς Ἕλλησιν ἀποφορά, οἵαν κεφαλὴν τοῦ ἔθνους ἀποτέτμηκας, οἷον ἐξεῖλες ὀφθαλμόν. ὦ γῆς ἄγαλμα, ὦ θέατρον τῆς Ἑλλάδος, ὦ νυμφῶν καὶ χαρίτων ὕφασμα· ὦ πάντα ἀπτομένας ἐγώ· ποῦ γῆς νῦν μονῳδῶ; ποῦ μοι τὸ βουλευτήριον; ποῦ νέων καὶ πρεσβυτέρων σύνοδοι καὶ θόρυβοι διδόντων ἅπαντα; ἰὼ ποτὲ ἐν τῷ Σιπύλῳ πόλις, ἰὼ κατὰ τῆς λίμνης δῦναι λόγος. ὦ Σμύρνα, ὡς πόρρωθέν σοι τὸ προοίμιον ᾔδετο, οἵας ἐκληρονόμησας τύχης, ὡς ἥκιστα σαυτῇ προσηκούσης. Νῦν ἔδει μὲν πάντως οἰωνοὺς εἰς πῦρ ἅλλεσθαι (παρέχει δ' ἡ πόλις ἄφθονον) πᾶσαν δὲ τὴν ἤπειρον ἀποκείρασθαι· πάντως αὐτῆς ὁ βόστρυχος οἴχεται· νῦν ποταμοὺς δάκρυσι ῥυῆναι, νῦν ὁλκάδας ἐκπλεῦσαι μέλασι τοῖς ἱστίοις. ὦ Μέλης δι' ἐρήμου ῥέων, ὦ τῶν προτέρων μελῶν τὰ παρόντα ἀντίφθογγα. ὦ κύκνων ᾠδὴ καὶ ἀηδόνων χορὸς ἐνθρηνεῖν. ἦπου καὶ Γοργόνες εἰ ἐθελήσαιεν, οὐκ ἂν τὴν Μέδουσαν, οὐδὲ τὸν αὐτῶν ὀφθαλμόν, ἀλλὰ τὸν τῆς Ἀσίας ἐπένθησαν. Ποῖον Βόσπορον, ἢ ποίους καταρράκτας, ἢ τίνα Ταρτησσὸν τὸ σόν, ὦ δαιμονία, κλέος οὐκ ἐπῆλθε; ποία Μασσαλία τὸ πένθος τοῦτο θρηνήσεται; ἢ τίνι Βορυσθένει; τίς Ἑλλήνων οὕτως ἔξω τῆς Ἑλλάδος; τίς Βαρβάρων οὕτως ἀδάμαστος καὶ ἀνάλωτος τοῖς τῆς Σμύρνης βέλεσι καὶ φίλτροις, ὅς τις οὐκ ἀκοῇ μὲν ἤρα, ἀκοῇ δὲ ἀνιάσεται. Ἡλιάδας μὲν δὴ λέγεται πενθούσας τὸν ἀδελφὸν, τελευτώσας αἰγείρων ἀλλάξασθαι φύσιν, καὶ τὸ δάκρυον αὐτῶν εἰς ἤλεκτρον παγῆναι. σὺ δὲ, ὦ χαριεστάτη πόλεων, αὐτοῖς ἄρα τοῖς δένδρεσι θρηνεῖν.



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006